Was Sokrates bei Forschern im Bereich des Göttlichen interessierte

Ἐσκόπει δὲ καὶ τάδε, ἆρ', ὥσπερ οἱ τἀνθρώπεια[1] μανθάνοντες ἡγοῦνται ὅ τι ἂν μάθωσιν ἑαυτοῖς τε καὶ τῶν ἄλλων ὅτῳ[2] ἂν βούλωνται ποιήσειν, οὕτω καὶ οἱ τὰ θεῖα ζητοῦντες νομίζουσιν, ἐπειδὰν γνῶσιν, αἷς ἀνάγκαις ἕκαστα γίγνεται, ποιήσειν, ὅταν βούλωνται, καὶ ἀνέμους καὶ ὕδατα καὶ ὥρας καὶ ὅτου[3] ἂν ἄλλου δέωνται τῶν τοιούτων, ἢ τοιούτων μὲν οὐδὲν οὐδ' ἐλπίζουσιν, ἀρκεῖ δ' αὐτοῖς γνῶναι μόνον, ᾗ[4] τῶν τοιούτων ἕκαστα γίγνεται.

[1] τἀνθρώπεια = τὰ ἀνθρώπεια
[2] ὅτῳ = ᾧτινι
[3] ὅτου = οὗτινος
[4] ᾗ *(relativisch)* auf welche Weise